κηρύξεται δὲ πᾶσι Καδμείοις τάδε·
ὃς ἂν νεκρὸν τόνδ᾽ ἢ καταστέφων ἁλῷ
ἢ γῇ καλύπτων, θάνατον ἀνταλλάξεται.
σὺ δ᾽ ἐκλιποῦσα τριπτύχους θρήνους νεκρῶν
κόμιζε σαυτήν, Ἀντιγόνη, δόμων ἔσω
καὶ παρθενεύου τὴν ἰοῦσαν ἡμέραν
μένουσ᾽ ἐν ᾗ σε λέκτρον Αἵμονος μένει.
ΑΝ. ὦ πάτερ, ἐν οἵοις κείμεθ᾽ ἄθλιοι κακοῖς.
ὥς σε στενάζω τῶν τεθνηκότων πλέον·
οὐ γὰρ τὸ μέν σοι βαρὺ κακῶν, τὸ δ᾽ οὐ βαρύ,
ἀλλ᾽ εἰς ἅπαντα δυστυχὴς ἔφυς, πάτερ.
ἀτὰρ σ᾽ ἐρωτῶ τὸν νεωστὶ κοίρανον·
τί θεσμοποιεῖς ἐπὶ ταλαιπώρῳ νεκρῷ;
ΚΡ. Ἐτεοκλέους βουλεύματ᾽, οὐχ ἡμῶν, τάδε.
ΑΝ. ἄφρονά γε, καὶ σὺ μῶρος ὃς ἐπίθου τάδε.
ΚΡ. πῶς; τἀντεταλμέν᾽ οὐ δίκαιον ἐκπονεῖν;
ΑΝ. οὔκ, ἢν πονηρά γ᾽ ᾖ κακῶς τ᾽ εἰρημένα.
ΚΡ. τί δ᾽; οὐ δικαίως ὅδε κυσὶν δοθήσεται;
ΑΝ. οὐκ ἔννομον γὰρ τὴν δίκην πράσσεσθέ νιν.
ΚΡ. εἴπερ γε πόλεως ἐχθρὸς ἦν, οὐκ ἐχθρὸς ὤν.
ΑΝ. οὐκοῦν ἔδωκε τῇ τύχῃ τὸν δαίμονα.
ΚΡ. καὶ τῷ τάφῳ νυν τὴν δίκην παρασχέτω.
ΑΝ. τί πλημμελήσας, τὸ μέρος εἰ μετῆλθε γῆς;
ΚΡ. ἄταφος ὅδ᾽ ἀνήρ, ὡς μάθῃς, γενήσεται.
ΑΝ. ἐγώ σφε θάψω, κἂν ἀπεννέπῃ πόλις.
ΚΡ. σαυτὴν ἄρ᾽ ἐγγὺς τῷδε συνθάψεις νεκρῷ.
ΑΝ. ἀλλ᾽ εὐκλεές τοι δύο φίλω κεῖσθαι πέλας.
ΚΡ. λάζυσθε τήνδε κεἰς δόμους κομίζετε.
ΑΝ. οὐ δῆτ᾽, ἐπεὶ τοῦδ᾽ οὐ μεθήσομαι νεκροῦ.

---

ἐᾶν δ᾽ ἄκλαυστον, ἄταφον, οἰωνοῖς βοράν 1634
τί τόνδ᾽ ὑβρίζεις πατέρ᾽ ἀποστέλλων χθονός; 1644

---

1634. *ἄκλαυτον* bc *C* 1635. *τριπτίχους θρήνους νεκρῶν γρ. τριπτύχων νεκρῶν γόους* Aa *τριπτύχους θρήνους νεκρῶν* BFb *τριπτύχων θρήνους νεκρῶν C* (?) 1637. *ἰοῦσαν* B *εἰσιοῦσαν* AEFbc *ἐπιοῦσαν C* 1639. *ἄθλιοι*] Barnesius, *ἀθλίοις* libri. 1647. *ἐπίθου* B *C* *ἐπείθου* ceteri. 1648. *οὐχὶ δίκαιον C* *ἐκτελεῖν* bc 1659. *τι C*